# ΚΕΦΑΛΑΙΟΝ, ΔΕΥΤΕΡΟΝ.

## Περὶ τῶν τῆς μίξεως, καὶ τῶν μικτῶν ἰδιοτήτων.

Ἵνα τὴν τῆς μίξεως γνῶσιν ἀκριβῶς θηρασώμεθα, τὰς ἀποδοθείσας ὑπὸ τοῦ Φιλοσόφου τῆς τε μίξεως, καὶ τῶν μικτῶν ἰδιότητας ἀνάγκη πρῶτον ἀναλαβεῖν. Πρῶτον οὖν πέντε τινὰς ἰδιότητας ὀφείλει προσεῖναι τοῖς μιγνυμένοις σώμασι, Πρῶτον μὲν ὁμόϋλα εἶναι καὶ ὁμογενῆ. Δεύτερον δὲ ἐναντία. Τρίτον ποιητικὰ καὶ παθητικὰ ὑπ᾽ ἀλλήλων. Τέταρτον οἷά τε εἶναι χωρίζεσθαι, καὶ καθ᾽ ἑαυτὰ ὑπάρχειν. Τελευταῖον δὲ οὐ μόνον τὴν οἰκείαν ποιότητα, ἀλλὰ καὶ τὸν ὄγκον χαρίζεσθαι τοῖς μικτοῖς, ταῦτα δὲ καὶ ὁ Φιλόσοφος ἐδίδαξε, καὶ τῇ ἀληθείᾳ σύμφωνα φαίνεται τοῖς ὀρθῶς φρονοῦσι. Δεύτερον δὲ πρὸς τὴν μίξιν αὐτὴν ἔνια ὡς ἀναγκαῖα πάνυ συνθέουσι. Πρῶτον γὰρ ἀνάγκη πως ἰσάζεσθαι ταῖς δυνάμεσι τὰ μιγνύμενα, ἵνα μὴ θάτερον ὅλως εἰς τὸ κρατοῦν μεταβάλῃ. Δεύτερον κατ᾽ ἄμφω, μήτε θάτερον ἀπόλλυσθαι. Τρίτον μὴ τὰς ὑπεροχὰς αὐτῶν σώζεσθαι. Ῥᾳδίως δὲ γίνεσθαι ποιεῖ τὴν μίξιν ὅσα πρὸς τὸ μίγνυσθαι τοῖς μικτοῖς ἐπιτηδειότητα χαρίζεται. ὀφείλει τοίνυν Πρῶτον εὐόριστα, καὶ εὐδιαίρετα εἶναι τὰ μιγνύμενα, ὅθεν οὐδὲ τῶν εὐδιαιρέτων ὅσα μὴ ὑγρὰ εὐκόλως μίγνυται, οἷον ἄλευρα καὶ ἄμμος. οὔτε τῶν εὐορίστων ὅσα μὴ εὐδιαίρετα, οἷον τὰ γλίσχρα, ταῦτα γὰρ ἀμιγῆ μένουσι, μὴ περιολισθαίνοντα παντὶ τῷ προσμιγνυμένῳ. Δεύτερον ὀφείλει τὰ μιγνύμενα μήτε σφόδρα μήτε πάμπαν ἠρέμα μεταβάλλεσθαι καὶ ἀλλοιοῦσθαι. διὰ γὰρ τὸ σφόδρα τὸν καττίτερον ἐξατμίζεσθαι καὶ ἀφανίζεσθαι οὐ γίγνεται πρὸς τὸν χαλκὸν ἡ μίξις, διὰ γὰρ τὸ ἠρέμα πάμπαν παθαίνεσθαι μυρία ὅσα τοῖς μεταβάλλουσι τάχιστα οὐκ ἐπιμίγνυται. Τελειοῖ δὲ τὴν μίξιν καὶ ἀπαρτίζει ἥ, τε ἀλλοίωσις τῶν μιγνυμένων, καὶ ἡ ἕνωσις, καὶ τὸ σώζεσθαι τὰς τῶν μιγνυμένων ποιότητας, καὶ τὸ τοῦ μικτοῦ ὁτιοῦν μέρος μεμίχθαι. Τούτων οὖν οὕτως ἐχόντων, φανερὸν ὅτι μίγνυσθαι πέφυκεν ὅσα τὴν αὐτὴν ἔχοντα ὕλην ποιητικὰ καὶ παθητικὰ ὑπ᾽ ἀλλήλων ἐστι, κεχωρισμένα οἷά τε ἐστὶν ὑπάρχειν, καὶ εἰς ἓν περιορίσασθαι. Ἔτι δὲ φανερὸν ὅτι μίξις ἐστὶ τῶν μικτῶν ἀλλοιωθέντων ἕνωσις. Ἔτι δὲ δῆλον ὅτι διαφέρει ἡ μίξις, συνθέσεως, γενέσεώς τε καὶ φθορᾶς. ἀλλοιώσεώς τε καὶ αὐξήσεως, καὶ φθίσεως, οὐ μὴν αὐτὸ τούτων ἐνδέχεται γίνεσθαι. ἔχει δέ τινα ἀπορίαν εἴπερ ἐστὶ κίνησις ὡς

ἔοικεν

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

ἔοικεν ἡ μίξις, τίνος ἕνεκεν οὐ γένεσις ἴδιον ἀπεργάζεται κινήσεως, ἀλλ᾽ οὐδὲν φανερὸν εἰς ποῖόν τι τῶν κινήσεων εἶδος ὑπάγεται, ἡ γένεσις ἐστὶν ἡ μίξις, οὐσίαν γὰρ ἔχηκε τὸν πρὸς ὃν ὅρον, διαφέρει δὲ τῆς τῶν ἁπλῶν σωμάτων γενέσεως ὅτι μὴ πάντως ὁ ἐξ οὗ ὅρος ἀπόλλυται. Ἔτι δὲ δῆλον ἐντεῦθεν ἐστὶν, ὅτι μόνα τὰ Τέτταρα στοιχεῖα μεμίχθαι πεφύκασι. Ταῦτα γὰρ ἔχει τὰς τῶν μιγνυμένων σωμάτων ἰδιότητας, ὡς ὁμόϋλά τε καὶ ἐναντία, καὶ δυνάμενα κολασθῆναι κατὰ τὰς ὑπεροχάς, διὸ δὴ καὶ τὰ μικτὰ μίγνυσθαι πάλιν ἐνδέχεται τῷ λόγῳ τῶν ἐμπεριεχομένων στοιχείων, εἰκότως οὖν καὶ ἡμεῖς περὶ τῆς τῶν στοιχείων μίξεως τοὺς λόγους μάλιστα ποιούμεθα.

## ΚΕΦΑ'ΛΑΙΟΝ, ΤΡΙ'ΤΟΝ.

### Πότερον ἐνδέχεται μίγνυσθαι τὰ στοιχεῖα, ἢ οὔ;

Τισὶ μὲν οὖν ἀδύνατον δοκεῖ μίγνυσθαι τὰ στοιχεῖα, ὡς γὰρ ἔχει φασὶ τὸ ὅλον πρὸς τὸ ὅλον, οὕτω τὰ μέρη ἔχει πρὸς τὰ μέρη, ἀλλ᾽ ἅμα μὲν στοιχεῖον ὅλον οὐκ ἐνδέχεται μίγνυσθαι, μὴ γὰρ αὖ τὸ ἀναξαγόρειον χάος δυνατὸν, ἄρ᾽ οὐδὲ τὰ μέρη. Δεύτερον εἴρηται ὅτι τὰ μιγνύμενα ὀφείλει ὑγρά τε εἶναι καὶ εὐόριστα, γῆ δὲ καὶ πῦρ οὐκ εἰσὶν ὑγρά, ἄρ᾽ οὐδὲ μίγνυνται εἰ δὲ ταῦτα οὐ μίγνυται, οὐδὲ τἆλλα τούτοις, πρὸς ὁμώνυμον γὰρ ἐστὶ τὸ μικτόν φησιν ὁ Φιλόσοφος. Πρόσθες ὅτι οὐδ᾽ ὁ ἀὴρ μίγνυται, εἰ γὰρ ὁ καττίτερος οὐ μίγνυται τῷ χαλκῷ ἀέριος ὤν, πολλῷ μᾶλλον οὐδ᾽ αὐτὸς ὁ ἀήρ. Τρίτον οὐκ ἔστιν ἰδεῖν πόθεν μίγνυνται τὰ στοιχεῖα, οὐ γὰρ ὑφ᾽ ἑαυτῶν, οὐδὲν γὰρ αὐτὸ ὑφ᾽ ἑαυτοῦ κολάζεται, ἀλλ᾽ οὐδὲ ὑπὸ τοῦ αἰθέρος, ὁμώνυμον γὰρ ἐστὶν αἴτιον, καὶ μηδὲν ἐνεργεῖ δίχα τοῦ συνωνύμου, καὶ προσεχοῦς. Τέταρτον φανερὸν ὅτι οὐκ ἐνδέχεται μίξιν εἶναι, ἰσαζομένων γὰρ ταῖς δυνάμεσι τῶν στοιχείων οὐδὲν μικτὸν γίγνεται ὡς κατωτέρω δειχθήσεται, θατέρου δὲ κρατοῦντος καὶ ὑπερέχοντος αὐτὸς ὁ Φιλόσοφος ἐδίδαξε μὴ μίξιν γίγνεσθαι. Πέμπτον ὁρῶμεν ὅτι τὰ μικτὰ τελεώτερα τῶν ἁπλῶν στοιχείων, ἄτοπον δὲ τὰ τελεώτερα γίγνεσθαι ἐκ τῶν ἀτελεστέρων. Τελευταῖον εἰ ἐστὶ μίξις δέη αὐτὰ στοιχεῖα συνελθεῖν, τοῦτο δὲ ἀδύνατον ταῖς ἐναντίαις φερομένων κινήσεσι. καὶ ταῦτα μὲν ἐστὶν οἷς ἡ μίξις ἀναιρεῖται, ἀλλ᾽ ὅμως ταύτην ἡ πεῖρα καὶ ὁ λόγος μαρτυρεῖ. καὶ πρῶτον μὲν ἐπειδή εἰσιν ἐν τοῖς οὖσιν ἀρχαὶ πρὸς μίξιν ἀποχρῶσαι, τίς ἂν ἔξαρνος γένοιτο ταύτης. Ὅτι δὲ τὰ στοιχεῖα ἀρκεῖ πρὸς μίξιν



ΙΩΑΝΝΙΝΑ 2006

φανερὸν, διὰ γάρ τοι τοῦτο τῆς προσηγορίας ἔτυχε ταύτης, καὶ σώζει πάσας τὰς ἀποδοθείσας ἀνωτέρω ἰδιότητας. Δεύτερον εἰσὶ μὲν ἐν τοῖς οὖσιν ἐνέργειαι πολὺ τῆς τῶν στοιχείων δυνάμεως ὑπερτεροῦσαι, γενόμεναι γε ὅμως ὑπὸ τῆς κράσεως τῶν πρώτων ποιοτήτων. φανερὸν οὖν μιγνύμενα τὰ στοιχεῖα αἴτια γίνεται τῶν τοιούτων ἀποτελεσμάτων. Τρίτον τῶν φύσει ὄντων δύω φαίνεται τὰ κυρίως ποιητικὰ αἴτια, κοινὸν μὲν τὸ αἰθέριον σῶμα, ἴδιον δὲ τὸ συνώνυμον ἑκάστου αἴτιον, καὶ τοῦ μὲν συνωνύμου τέλος τὸ γεννᾷν ἑαυτῷ ὁμοιότατον. τοῦ δὲ κοινοῦ τυχὸν οὐκ ἔκφυλο. εἴη τέλος κοινόν τι γεννᾷν ἀποτέλεσμα, διὸ βούλεται μὲν τὰ στοιχεῖα ἐξομοιοῦν ἀεὶ τὸ ἀντικείμενον αὐτοῖς, οὐ μήν γε ταύτῃ δυνάμενα διὰ τὴν εἰς ἄλληλα μάχην, στέργει τῇ κράσει καὶ ἐν τῇ τοῦ μικτοῦ συστάσει, οἷον σπονδὰς ἄγει καὶ ἐκεχειρίαν, οὔτε τῆς οἰκείας αὐτῶν ἐξεστηκότα ποιότητος, οὔτε πάντως μεταβεβληκότα τὰ ἀντικείμενα, ἀλλὰ τῇ τῶν καθόλου αἰτίων διοικήσει παρακολουθοῦντα κοινὸν ἀποτέλεσμα καθιστῶσι τὰ μικτά. Πέμπτον τὸ δυνατὸν ἡ φύσις οὐκ ἀποστοπιάζεται κάλλος δύναται δὲ τὰ στοιχεῖα μιγῆναι, καὶ θαυμασίαν τινὰ ποικιλίαν ἀπεργάσασθαι τῶν ὄντων, ἄρα καὶ μέμικται. μάλιστα δὲ τῇ τῶν μικτῶν γενέσει ἐπαιρομένη πως ἡ φύσις τῷ θειοτάτῳ τῶν ὄντων ἑνοῦται, ὁ μὲν γὰρ οὐρανὸς κινεῖ τὰ στοιχεῖα μάλιστα τῇ κινήσει, τὰ δὲ στοιχεῖα ὕλης ἔχοντα λόγον τῇ τοῦ αἰθερίου σώματος διοικήσει εἰς τὴν τῶν μικτῶν μεθαρμόζεται καλλονὴν, μάλιστα δὲ τῆς ἀνθρωπείας Φύσεως, δι᾽ ἧς ἡ ἔνυλος φύσις τῇ αὔλῳ καὶ νοερᾷ ἑνοῦται ὃν τρόπον ἐν τῷ. Τρίτῳ περὶ ψυχῆς μεμαθήκαμεν, ἐκεῖνο δὲ ἐπιστάσεως ἄξιον, ὅτι τὰ στοιχεῖα μίγνυσθαι λέγοντες, οὐ τὸ ὅλον φαμὲν, ἀλλὰ τὰ τούτων μέρη, καί τοι οὐδὲ ἓν τῶν στοιχείων ὅλως εὕρηται εἰλικρινὲς καὶ ἄδολον, ὅμως οὐδὲ μικτὸν ἐστὶ τελέως ὡς εἰρήσεται, διὸ δὴ ἐπειδὴ τὰ τρία τῶν στοιχείων ἑνοῦται πως ἐν τῇ τῆς γῆς ἐπιφανείᾳ κατ᾽ αὐτὴν ὁ πλείων ἐστὶ τῶν μικτῶν ἀριθμὸς, θαυμάσαι δὲ ἔπεισιν ἐνταῦθα τὴν τοῦ παντὸς τάξιν, ὅτι ἡ μὲν ὕλη ἐξ ἧς τὰ μικτὰ συνετέθη ἐν μέσῳ κεῖται πάντοθεν ὑποδεχομένη τὴν τοῦ τεκταινομένου σώματος ποίησιν, ἐν δὲ τῷ μεσαιτάτῳ ἡ γῆ βάρει τῷ οἰκείῳ σαλεύει, καὶ ἠρεμεῖ οἷα κρηπῖδος ἔχουσα λόγον ἐφ᾽ ἧς τὸ αἰθέριον σῶμα δημιουργεῖ τὴν τῶν μικτῶν ἁρμονίαν, τὸ δὲ μεταξὺ γῆς τε καὶ αἰθέρος διαφανὲς οὐκ ἀπεικότως ἐστὶν, ὅπως αὖ αἱ τοῦ ποιοῦντος ἐνέργειαι ἀκωλύτως διήκωσι. συνέσφικται δὲ πάντα τῷ αἰθερίῳ σώματι στερεῷ τε ὄντι καὶ ἀθανάτῳ, ἵνα τὸ πέριξ ὡσαύτως ἀεὶ ἔχον τῆς τῶν ἐν μέσῳ διαμονῆς αἴτιον γίνεται. Τούτοις δὲ πρόσθες εἰ βούλει, οἷα δὴ μίξεως ἀναντίρρητον ἀπόδειξιν τὴν τῶν μικτῶν εἰς τὰ στοιχεῖα διάλυσιν, ὁτιοῦν γὰρ ἄν τις τῶν μικτῶν ἀναλύσοι, γῆν μὲν,

καὶ

ΙΩΑΝΝΙΝΑ 2006

καὶ ὕδωρ, καὶ ἀέρα, καὶ πῦρ εἰς ἑαυτὰ, ὄψεται μεταποιούμενα. οἱ δ' ἀντικείμενοι λόγοι ῥᾳδίως ἐπιλύονται. Ἐλέγετο τοίνυν πρῶτον, ὅτι ὡς ἔχει τὸ ὅλον πρὸς τὸ ὅλον, οὕτω τὰ μέρη πρὸς τὰ μέρη, τὸ δὲ ὅλον ἄφθαρτόν ἐστι καὶ ἄμικτον, ἄρα καὶ τὰ μέρη, ἀλλ' ὅμως ἐπὶ μὲν τῶν Μαθηματικῶν ἀκριβῶς ἀληθεύει, ἐπὶ δὲ τῶν Φυσικῶν οὐχ οὕτω, πολλὰ γὰρ κωλύει τὸ ὅλον παθεῖν ἃ πάσχειν ἐνδέχεται τὰ μέρη, ὡς ἐπὶ τῶν στοιχείων τὸ μὲν ὅλον ἄφθαρτόν ἐστι, τὰ δὲ μέρη φθαρτά. πρὸς δὲ τὸ δεύτερον εἰρήσθω, ὅτι ἰσάζεσθαί πως δεῖν ἔφη ταῖς δυνάμεσιν ὁ Φιλόσοφος τὰ στοιχεῖα, ἀλλ' οὐ πάντως, οὐ γὰρ ἂν ἦν μίξις ὡς λέγεται. Κἀκεῖνο δὲ ἀληθὲς ὅτι τὰ ὑγρὰ ῥᾳδίως ἐξατμίζεται, εἰ πυρὶ ἀπαντήσοι, εἰ δὲ τοῖς ξηροῖς καὶ τοῖς ψυχροῖς οὐδὲν κωλύει συγκεράννυσθαι, ὃ δὲ ἐλέγετο ὅτι τὰ στοιχεῖα, οὔθ' ὑφ' αὑτῶν, οὐδ' ὑπ' οὐρανοῦ ἐνδέχεται μεμίχθαι κομιδῆ ψεῦδός ἐστιν, αὐτὰ γὰρ ἐπιτηδείως ἔχει πρὸς μίξιν ἐν λόγῳ ὕλης, καὶ τῇ τοῦ αἰθέρος κινήσει ἐνούμενα συγκεράννυνται. Προσετίθεσαν ὅτι τῶν στοιχείων ἰσαζόντων μὲν οὐδὲν γίγνεται μικτὸν, οὐδὲ θατέρου κρατοῦντος, ὅτι τἆλλα μεταβάλλει εἰς ἑαυτό. Πρὸς ὃ φαμὲν ὅτι οὔτε ἀκριβῶς ἰσάζεται, οὔτε ἁπλῶς κρατεῖ, ἀλλὰ συγκραθέντα καὶ ὁμοιωθέντα πως ἑνίζεται τῷ τοῦ μικτοῦ εἴδει καὶ συνέχεται. Τελευταῖον ἠπορεῖτο, πῶς λέγεται ἐκ τῶν στοιχείων συγκεῖσθαι τὰ μικτὰ πολλῷ τελεώτερα ἐκείνων ὑπάρχοντα. ἀλλ' εἰδέναι δεῖ ὅτι τὰ μικτὰ ἐκ τῆς τῶν στοιχείων συγκράσεως γινόμενα ἐντελέστερα γίνεται. Τίς γὰρ ἂν ἀμφιβάλλοι τὰ τέσσαρα τῶν στοιχείων ὁμοῦ πλέον, ἢ καθ' ἓν ἕκαστον ἰσχύειν, ὁ δ' Ἀλέξανδρος ἀφροδισιεὺς δευτέρῳ τῶν Φυσικῶν ἀποριῶν κεφ. γ'. τὰ μικτὰ ἀμείνω καὶ τελεώτερα ποιεῖ τῶν ἁπλῶν, ὅτι ἐν τῇ γενέσει τούτοις καταπείρεται, θεία τις δύναμις καὶ αἰθερία, δι' ἣν δύναμιν καὶ ψυχικὴν προσλαμβάνει ἀρχὴν, καὶ ταῦτα μὲν περὶ τούτων ἅλις.

## ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ.

### Τί ἐστι μίξις.

ΔΗλωτικός ἐστι τῆς μίξεως ὥσπερ καὶ τῶν ἄλλων ἐστὶν ὁ ὁρισμὸς, ἐπεὶ δὲ ἡ μίξις ὁρίζεται ἢ κοινότερον, ἢ ἰδιαίτερον, καθὸ τοῖς στοιχείοις ἰδιάζει μόνοις. εἴδωμεν πρῶτον τὸν λόγον ἧς τινος οὖν μίξεως, καθάπερ καὶ Ἀριστοτέλης αὐτὴν ὑπέλαβεν ἐν τῷ τέλει τοῦ πρώτου περὶ



Ε.Υ.Δ τμ. ΚΝΠ
ΙΩΑΝΝΙΝΑ 2006

γενέσεως καὶ φθορᾶς. τὴν μίξιν εἰπὼν τῶν μικτῶν ἀλλοιωθέντων ἕνωσιν. ἔστι τοίνυν ἁπλῶς μίξεως, πάσης ὁρισμὸς ὁ τοιοῦτος, ὡς μὲν ἔνιοι βούλονται συνεστηκὼς ἐξ ὕλης καὶ εἴδους, τὰ γὰρ ἀλλοιωθέντα μικτὰ ὕλης ἔχει λόγον, ἡ δὲ ἕνωσις τούτων καθ' ἣν σώζεται κεκολασμένα μὲν, ἀλλ' οὐ φθαρέντα ὡς εἶδος ἐστὶν, ὥστε τὸν ὁρισμὸν ἀπαρτίζεσθαι τοῖς δυσὶ συναιτίοις, ὡς δ' Ἀλέξανδρος παραινεῖ ἐν τοῖς περὶ μίξεως προθέσεσι τῷ ὁρισμῷ καὶ τὸ τῆς μίξεως ποιητικὸν αἴτιον τὸν ὁρισμὸν ἀναπτύσσων, ὡσανεὶ ἐλέγετο τῶν μικτῶν δι' ἀλλοιώσεως ἕνωσις, τὴν γὰρ μίξιν φησὶ τῶν παρακειμένων σωμάτων δι' ἐνεργείας καὶ πάθους κατὰ μεταβολὴν αὐτῶν φθορᾶς ἕνωσιν. εἰ δέ τις προσθείη ἐκ τῶν ἀνωτέρω ῥηθέντων τὸ τελικὸν αἴτιον κοινὸν πάσης μίξεως ὁρισμὸν ἕξει συνείρειν, λέγων ὅτι μίξις ἐστὶ τῶν μικτῶν ἀλλοιωθέντων διὰ τῆς τῶν ποιούντων καὶ πασχόντων ἀμοιβαδὸν ἐνεργείας ἕνωσις εἰς παντοδαπὴν τῶν ὄντων ποικιλίαν, καὶ καλλονὴν, ὁ δὲ ὁρισμὸς οὗτος εἰ καὶ πᾶσι τοῖς ὁπωσδήποτε μίγνυσθαι δυναμένοις προσήκει, ἀλλ' ὅμως μάλιστα τοῖς στοιχείοις προσήρμοσται. ταῦτα γὰρ ἐστὶ κυρίως μικτὰ ὡς εἴρηται, διό τισιν ἐμφανέστερον ἡ τῶν στοιχείων μίξις ὁρίζεται τῶν ἁπλῶν σωμάτων ἀλλοιωθέντων ἕνωσις ἐπειδὴ δὲ ἡ μὲν μίξις τῶν σωμάτων ἐστὶν, ἡ δὲ κρᾶσις τῶν ποιοτήτων, καὶ ταύτην ἂν ῥαδίως ὁρισαίμεθα, ὅτι ποιότης ἐστὶν ἐκ τῆς παθήσεως καὶ ἐνεργείας τῶν πρώτων ποιοτήτων καθ' ἕνωσιν καὶ ἁρμονίαν ἀναφυομένη. καίτοι πολλοῖς ἠπόρηται πότερον ἡ κρᾶσις ἁρμονία μόνον ἐστὶ τῶν τεσσάρων ποιοτήτων, ἢ ποιότης ἐστὶ διὰ τὴν ἁρμονίαν ἀνακύπτουσα; περὶ οὗ λελέξεται κατωτέρω. ἐπειδὴ δὲ τοῖς γε μετ' ἀκριβείας εἰδέναι βουλομένοις τί μίξις ἐστὶ καὶ κρᾶσις, ἀνάγκη πρότερον ἐκμαθεῖν πῶς ἐν τῷ μικτῷ ὑπάρχει τὰ στοιχεῖα, φέρε δὴ καὶ ἡμεῖς περὶ τούτου τὴν σκέψιν προτείνωμεν.

## ΚΕΦΑΛΑΙΟΝ, ΠΕΜΠΤΟΝ.

### Περὶ τοῦ πῶς ἐν τῷ μικτῷ σώζεται τὰ στοιχεῖα.

Τρεῖς εἰσι δυνατοὶ τῆς μίξεως τρόποι, εἰ καὶ μὴ ἐν τῇ τῶν πραγμάτων φύσει, ἀλλ' ἐν ταῖς τῶν πολλῶν ἐπινοίαις, τούτων δὲ ἕκαστος συρφετὸν ἐπεσπάσατο δοκησισόφων, ὧν οἱ μὲν τὰ στοιχεῖα πάντως ὁλόκληρα σώζεσθαι πρεσβεύουσιν, οἱ δὲ τοὐναντίον φθείρεσθαι ἐς τὸ παντελὲς δοξάζουσιν. ἕτεροι δὲ τὴν μέσην βεβαδικότες, πῇ μὲν σώζεσθαι, πῇ δὲ καὶ μὴ λέγουσι, διαφωνοῦσι δὲ ὅμως ἀλλήλοις, οἱ μὲν οὖν τὰ

στοιχεῖα λέγοντες ὁλοτελῆ προσιέναι τῷ μικτῷ ἀρχηγοὺς ἔχουσι τῆς οἰκείας δόξης Ἐμπεδοκλέα καὶ τοὺς ἐκ τῆς στοᾶς, οἱ μὲν γὰρ ὡς λέγεται ἐν τῷ περὶ μίξεως Ἀλεξάνδρου, τρόπον ἀκριβέστατον μίξεως ᾠήθησαν γίνεσθαι, ὁπηνίκα τὰ ἀραιὰ τῶν στοιχείων Πῦρ τε καὶ Ἀὴρ τοῖς δυσὶ πυκνοῖς ἑνούμενα συνεκτείνεται τῆς λεπτομεροῦς οὐσίας διὰ παντὸς τοῦ πυκνοῦ σώματος διοικούσης, ἐν ᾧ δὴ Ἐμπεδοκλέους διαφωνοῦσιν οὐ συνεκτείνεσθαι διὰ παντὸς τὰ ἀραιὰ τοῖς πυκνοῖς λέγοντος, ἀλλὰ τὰ τέσσαρα στοιχεῖα εἰς μικρὰ κατακερματιζόμενα συνάπτεσθαι τῇ παραθέσει. ὁ δὲ Ἐμπεδοκλῆς ἀναλλοίωτα καὶ ἀγένητα τιθέμενος τὰ στοιχεῖα διὰ τῆς τούτων παραθέσεως ἀπεδίδου τὴν μίξιν, ὡς μαρτυρεῖ Γαληνὸς ἐν τῷ περὶ Φύσεως ἀνθρωπίνης, τοῖς μὲν οὖν λέγουσι πάντως ὁλοτελῆ ἐναπομένειν τῷ μικτῷ τὰ στοιχεῖα ἐπικουροῦσι μὲν ὅσαι τὴν τῶν στοιχείων ἀφθαρσίαν συνιστῶσιν ἀποδείξεις, ἔτι δὲ πολλὰ τῶν ὄντων μεταβάλλεσθαι μὲν δοκοῦντα, σώζοντά γε ὅμως τὴν οἰκείαν αὐτῶν ποιότητα, οἷον θυμίαμα μὲν καὶ στύραξ καιόμενα καὶ λυόμενα εἰς ἀέρα πάλιν τὴν αὐτὴν ἀποπέμπουσι ποιότητα. χρυσὸς δὲ ἐλαττούμενος οὐδὲν ἧττον χρυσός ἐστι καίτοι τῆς οἰκείας παχύτητος ἀπαλλαγείς, πῦρ δὲ πρόσεισι τῷ σιδήρῳ τὸ αὐτὸ ὄν. Ἔτι δὲ τὰ φάρμακα ἐνεργητικὰ ὄντα καὶ παθητικὰ ὥς φασιν, ὅμως ἀκριβῶς ἐπιμιγνύμενα σώζεται μὴ μεταβάλλοντα κατ' οὐσίαν. πρόσθες ὅτι καὶ αὐτὸ τὸ φῶς σῶμα ὑπάρχον παντὶ τῷ ἀέρι περικεχύσθαι δύναται δίχα μεταβολῆς, ὥσπερ καὶ τὰ εὐώδη διαδίδοται μὲν τῷ ἀέρι, οὐ μήν γε φθείρεται, εἰ γὰρ αὖ φθείρηται πῶς αὖ ἐνδέχεται σώζεσθαι τὴν αὐτὴν ποιότητα. Τοῦτο αὐτὸ καὶ λόγῳ δεικνύουσι, τῇ μὲν ὅτι τὰ στοιχεῖα ἐξάγεται τοῦ μικτοῦ διαλυθέντος, πῶς δὲ μὴ προσόντα πρότερον; τῇ δὲ ὅτι τῶν στοιχειωδῶν ποιοτήτων καὶ ἐνεργειῶν καὶ ἡ αἴσθησις ἐν τοῖς μικτοῖς ἀντιλαμβάνεται, ἐπειδὴ οὖν ἀπὸ τῶν ἐνεργειῶν τὰ τῶν πραγμάτων θηρεύσιμα γίνεται, φανερὸν ὅτι ἐνυπάρχουσι τὰ στοιχεῖα ὅπου εἰσὶν αἱ τούτων ἐνέργειαι, καὶ ταῦτα μὲν εἴρηται τοῖς πάλαι. Οἱ δὲ νεώτεροι σώζεσθαι μὲν τὰ τῶν στοιχείων εἴδη ἐν τῷ μικτῷ πρεσβεύουσιν, ἀλλ' οἱ μὲν καὶ τὰς ποιότητας αὐτῶν ἥκιστα μειοῦσθαι φασιν, οἱ δὲ τὰ μὲν εἴδη μὴ μεταβάλλειν, ἄνεσιν δὲ λαβεῖν οἴονται τὰς ποιότητας, ἀμφότεροι γὰρ ἕτερά φασι τὰ εἴδη τῶν στοιχείων τῶν ἐν τούτοις ποιοτήτων. Οἱ μὲν οὖν λόγοι οἱ συνιστῶντες τὰς αὐτὰς μένειν ὅλας ποιότητας τοιοῦτοι εἰσιν. εἰ ἐν τῷ μικτῷ διὰ τὴν εἰς ἀλλήλας μάχην ἀνίενται αἱ τῶν στοιχείων ποιότητες, ἐπειδὴ ὕφεσιν λαβοῦσαι οὐ μεθίστανται τῆς μάχης, ἐν μικρῷ χρόνῳ φθαρήσονται. ὥστε τὰ εἴδη τῶν στοιχείων μένειν ἐν τῷ μικτῷ ἄνευ τῶν οἰκείων ποιοτήτων. Δεύτερον ὥσπερ ἡ ποιότης ὅλη ἀντίκειται τῇ ὅλῃ ποιότητι, οὕτως ἡ ἀνει-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΦΙΛΟΣΟΦΙΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΙΟΣ
Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

μένη τῇ ἀνειμένῃ, ἀλλὰ μὴν τὰς ἀνειμένας ὁμοῦ ὑπάρχειν ἐνδέχεται, καὶ αἱ ὅλαι ἄρα. ἀλλ' ἔγωγε μὲν τὴν τοιαύτην δόξαν ἔκφυλον οὖσαν τοῦ περιπάτου ἰσχυρὰν οἶμαι καὶ ἄφυκτον τοῖς νεωτέροις περιπατητικοῖς. οὗτοι γὰρ ἕτερα τιθέντες τὰ τῶν στοιχείων εἴδη τῶν ἐν αὐτοῖς ποιοτήτων, τὰ μὲν εἴδη ὡς μὴ τὸ μᾶλλον καὶ ἧττον ἐπιδεχόμενα κατ' αὐτὰς ἀπαραμείωτα σώζεσθαι διϊσχυρίζονται. τὰς δὲ ποιότητας ἅτε δὴ συμβεβηκότα κολάζεσθαί φασιν ἐν τῷ μικτῷ, τούτων δὲ τί ἂν εἴη ἀτοπώτερον; πῶς γὰρ ἐνδέχεται τῶν ποιοτήτων ἀνειμένων μὴ τὸ ἧττον ἐπιδέχεσθαι τὸ εἶδος, ἢ πῶς ὁλόκληρον σωζόμενον τὸ εἶδος οὐκ ἀναλαμβάνει ταχέως τὴν οἰκείαν αὐτοῦ ποιότητα; ἥτις ἂν ἔχοι σ..υιεῦαι πῦρ σῶον, ἧττον θερμὸν ὡς ὑπομιμνήσκουσιν οὗτοι, ὥστε εἰ σώζεται τὰ εἴδη τῶν στοιχείων ἐντελῆ, καλῶς λέγουσί τινες καὶ τὰς ποιότητας μένειν ὁλοκλήρους, κρᾶσιν οὐ τῶν ποιοτήτων, ἀλλὰ τῶν ἐνεργειῶν ἐξολιγώσεως, διὰ γὰρ τῆς τῶν ἐναντίων παραθέσεως κεκωλῦσθαι φασὶ τὰς τῶν ἐνεργειῶν ὑπεροχὰς, καὶ συμπνοεῖν εἰς μίαν τινὰ ἁρμονικὴν ἐνέργειαν τῇ τοῦ μικτοῦ φύσει προσήκουσαν, οἱ δὲ λέγοντες σώζεσθαι μὲν εἰλικρινῆ τὰ στοιχεῖα, κολάζεσθαι δὲ τὰς ποιότητας τούτων λόγοις ἐρείδονται τοιούτοις, τὰ μὲν γὰρ εἴδη τὰ οὐσιώδη τῶν ὄντων ἁπάντων σαφῶς ἀποδεδεῖχθαι νομίζουσι μὴ ἄνεσιν ἢ ἐπίτασιν ἐπιδέχεσθαι, ὡς ἀλλαχοῦ διεξοδικώτερον εἴρηται. Δεικνύουσι δὲ τὰς πρώτας ἀνίεσθαι ποιότητας, πρῶτον μὲν ὅτι τὰ ἄκρως ἐναντία ἐξωθητικὰ ἀλλήλων ὄντα οὐκ ἐν τῷ αὐτῷ ἐνδέχεται ὑπάρχειν ὑποκειμένῳ. ὥστε εἰ μὴ ἀνειμένων τῶν ποιοτήτων ὁτιοῦν μέρος τοῦ μικτοῦ οὐκ ἔσται θερμὸν καὶ ψυχρὸν, καὶ ξηρὸν καὶ ὑγρὸν, ἀλλὰ τὸ μὲν θερμὸν, τὸ δὲ ψυχρὸν, ὃ δὴ ἀτοπώτατόν ἐστι. τοῦ γὰρ μικτοῦ ὁτιοῦν μέρος ὁμοιομερὲς ὀφείλει ὑπάρχειν, ἢ ὁμοιομεροῦς ὄντος παντὸς μέρους τῶν ἐν τῷ μικτῷ ἀνίεσθαι συμβαίνει τὰς ποιότητας, διά τοι τοῦτο φασὶ τὸν Φιλόσοφον ἐξελέγξαι τὰ τοῦ Ἐμπεδοκλέους, ὡς εἰ μὴ ἀλλοιοῦνται τὰ στοιχεῖα τοῦ μικτοῦ ὁτιοῦν μέρος οὐκ εἴη μικτόν. Δεύτερον μίγνυσθαί φασι τὰ στοιχεῖα δρῶντα καὶ πάσχοντα ὑπ' ἀλλήλων. Δρῶσι δὲ καὶ πάσχουσι κατὰ τὰς πρώτας ποιότητας, ἄρα κατ' αὐτὰς ἀνίενται, τὰ γὰρ πάσχοντα τῆς οἰκείας αὐτῶν ἀπαλλάττεται ποιότητος τῆς ἐναντίας μεταλαμβάνοντα. Τρίτον εἰ ὁλοτελεῖς αἱ ποιότητες ἐν παντὶ μικτῷ περιγίνονται εἴη ἂν ἁπάντων τῶν μικτῶν κρᾶσις ἡ αὐτὴ καὶ μία ἀπαραλλάκτως, τοῦτο δὲ τῇ ὁσημέραι πείρᾳ ἀντιφθέγγεται, διὸ δὴ συμφώνως οἱ τῶν Φιλοσόφων ὁμοῦ καὶ ἰατρῶν ἔξαρχοι κολάζεσθαι τὰς ἐν τοῖς στοιχείοις πρώτας ποιότητας ὁμολογοῦσιν ἐν τῷ μικτῷ, ὡς θ' ὑφειμένων τῶν ὑπερβολῶν εἰς μίαν τινὰ κρᾶσιν συμφύεσθαι καὶ συναρμόζεσθαι, τῇ δὲ ὑφέσει τῶν ποιοτήτων ἕπεται ἡ τῶν ἐνεργειῶν ἐλάττωσις, ὥστε μήτε τὸ



ΙΩΑΝΝΙΝΑ 2006

πῦρ καυστικὸν εἶναι, μήτε τὸ ὕδωρ ψυκτικὸν ἄκρως, εἰ μήπου κατὰ συμβεβηκὸς ἐξαφθὲν τὸ θερμὸν ἢ τὸ ψυχρὸν λύσει τὰς σπονδὰς, καὶ ἀντιπαρσίαν ποιήσει, δι᾽ ἣν αἰτίαν συμβαίνει περὶ τὸ σῶμα τὰ νοσήματα, ἀλλὰ ταῦτα μὲν τὰ στοιχεῖα σώζοντες ἐν τοῖς μικτοῖς κακουργοῦσι, συμβαίνει γὰρ τῆς ἀληθείας ἀποσφαλεῖσιν ἐν πολλοῖς πλανᾶσθαι τοῖς ψεύδεσιν. Ἕτεροι δὲ ἐκ διαμέτρου τούτοις ἀντικείμενοι φθείρεσθαι μὲν ἐν τῇ μίξει διϊσχυρίζονται τὰ στοιχεῖα, ἐκ δὲ τῆς τούτων φθορᾶς τὸ τοῦ μικτοῦ εἶδος ἐξάγεσθαι τῆς ὕλης. καίτοι οὐδ᾽ αὐτοὶ ἑαυτοῖς συμφωνοῦσιν, οἱ μὲν γὰρ τά, τε εἴδη καὶ τὰς ἐν τοῖς στοιχείοις ποιότητας ἀπόλλυσθαι λέγουσιν ἀναφύεσθαι δὲ ἑτέρας τῇ τοῦ μικτοῦ κράσει [προσηκούσας τοιοῖς δὲ λόγοις] ἐρειδόμενοι. Πρῶτον μὲν γάρ φασι σῶα τὰ τῶν στοιχείων εἴδη, καὶ ὁλοτελῆ ἀδύνατόν ἐστιν ἐναπομεῖναι τοῖς μικτοῖς, ἀλλὰ μὴν ταῦτα οὐσιώδη ὄντα ἀδύνατόν ἐστιν ἄνεσιν ἐπιλαβεῖν, ἄρα ἀδύνατόν ἐστι σώζεσθαι. Δεύτερον ἐν ἑνὶ σώματι ἓν ὀφείλει εἶδος ὑπάρχειν, εἶναι γὰρ ὀφείλει μία τοῦ ἑνὸς ἡ φύσις, ἀλλὰ μὴν τῶν στοιχειωδῶν εἰδῶν σωζομένων πολλὰ ἂν εἴη ἐν ἑνὶ σώματι εἴδη, ἄρα οὐ σώζεται τὰ τῶν στοιχείων εἴδη ἐν τοῖς μικτοῖς. Τρίτον, ὡς ὁ Φιλόσοφος λόγος διδάσκει, ὁ ἐξ οὗ ὅρος ἐν τῇ συνθέσει τῶν πραγμάτων ἀπόλλυται, ἀλλὰ μὴν τὰ τῶν στοιχείων εἴδη ὅρων ἐπέχει λόγον τοιούτων, ἄρα ἀπόλλυσθαι δεῖ. Τέταρτον τὰ στοιχεῖα δυνάμει ἐστὶν ἐν τοῖς μικτοῖς, ὥσπερ ἐν τοῖς λογικοῖς ὑπάρχει τὸ Αἰσθητικὸν καὶ Φυτικὸν, ἀλλὰ μὴν ταῦτα οὐ σώζεται κεχωρισμένα, ἀλλὰ περιέχεται ἐν τῇ τοῦ λογικοῦ περιοχῇ σώζοντος οὐ τὰ εἴδη τοῦ αἰσθητικοῦ καὶ φυτικοῦ, ἀλλὰ τὰς δυνάμεις αὐτῶν, ἄρα καὶ τὰ στοιχεῖα οὐ σώζεται ἐν τοῖς μικτοῖς, εἰ μήπου δυνάμει μόνον. Οἱ δὲ φθείρεσθαι μὲν τὰ εἴδη τὰς δὲ ποιότητας τούτων οἷον θερμότητα καὶ ψυχρότητα ἐναπομένειν τὰς αὐτὰς οἴονται τῇ τοῦ Φιλοσόφου κινούμενοι λέξει, οὐκ ἐκ τῶν στοιχείων ἀλλ᾽ ἐκ τῶν δυνάμεων μᾶλλον εἰπόντος συγκεῖσθαι τὰ μικτά.

## Ἐξήγησις τῆς ἀληθείας.

Ἐπειδὴ τοὺς πλείους τῶν νεωτέρων τοῦ ἀληθοῦς ἀπέρρηξεν ἡ ἄγνοια τοῖν δυοῖν τούτοιν, τοῦτε δηλαδὴ εἴδη τῶν στοιχείων εἶναι τὰς πρώτας ποιότητας, καὶ τοῦ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι, ὧν θάτερον μὲν ἀνωτέρω δέδεικται, θάτερον δὲ ἐν τοῖς εἰσέπειτα λόγοις δῆλον γενήσεται, νῦν δὲ ὑποτιθέσθω, ῥᾳδίως ἂν ἔχοιεν ἐπιστρέψαι πρὸς τὴν τοῦ Φιλοσόφου διδασκαλίαν τοῖς παρ᾽ ἡμῶν ἐκτεθειμένοις λόγοις πεπιστευκότες. ἀλλ᾽ οὐκ ἐξίτηλός ἐστιν ἡ ἐκ παίδων καταπειρομένη ταῖς ψυχαῖς



ΙΩΑΝΝΙΝΑ 2006

ὑπόληψις, δι' ὅπερ οὐχ ἵνα τούτους μεταθῶμεν τῆς ἐκφύλου ταύτης δόξης, ἀλλ' ἵνα μὴ τῶν Ἑλλήνων τινὲς τῶν ἀρχαίων ἀποστῶσι δογμάτων τοῖς ἐκείνων ἀπατώμενοι σοφίσμασι, φέρε δὴ τὴν προκειμένην ἀπορίαν ἐπιλύσωμεν. Πρῶτον οὖν ἐπειδὴ φανερόν ἐστιν ἐκ τῆς τοῦ Φιλοσόφου λέξεως οὐ πάντως φθείρεσθαι ἐν τῇ μίξει τὰ στοιχεῖα, οὐδὲ σώζεσθαι πάντως, ἀλλὰ κατά τι μὲν ἐφθάρθαι λέγεται, κατά τι δὲ περιμεῖναι, φανερόν ἐστιν, ὅτι ἠλλοίωται καὶ τὰ εἴδη, ἡ γὰρ φθορὰ καὶ σωτηρία τοῦ εἴδους ἐστὶν ἀλλ' οὐ τῶν συμβεβηκότων, ταῦτα γὰρ ταῖς οὐσιώδεσι διαφοραῖς παρεπόμενα ὡς ἡ σκιὰ τῷ σώματι ἀνίεται καὶ ἐπιτείνεται τῇ τῶν εἰδῶν ὑφέσει καὶ ἐπιδόσει. Δεύτερον ἀλλοιούμενα μίγνυται τὰ στοιχεῖα, ἡ δὲ ἀλλοίωσις πάθει καὶ ἐνεργείᾳ διεξοδεύεται, ὥστε ἀλλοιοῦσθαι τὰ ποιοῦντα καὶ πάσχοντα, ὥς γε τῷ Φιλοσόφῳ μεμαρτύρηται ἀλλοιοῦσθαι λέγοντι τἀναντία ὡς ποιητικὰ καὶ παθητικά, ἀλλὰ μὴν τὰ στοιχεῖα κατὰ τὰ εἴδη ποιεῖ καὶ πάσχει, ἄρα καὶ κατὰ ταῦτα ἀλλοιοῦται, καὶ ἀνίεται, ὥστε μίγνυσθαι. ἀπίτω γὰρ ἡ τῶν ἐν Φιλοσοφίᾳ νόθων τερατολογία ἀρχὴν ποιήσεως καθιστῶσα τὸ συμβεβηκός, τὸ δὲ εἶδος ἀργὸν καὶ ἀσυνέργητον, καὶ περιττὸν αἰνιττομένη. Τρίτον εἰ οὐ σώζεται ἐν τῷ μικτῷ τὰ στοιχεῖα δέοι ἂν ἀποδοῦναι τὸ φθαρτικὸν τούτων, οὐ γάρ ἐστιν εἰπεῖν ὅτι τῇ γενέσει φθείρεται τοῦ πρὸς ὃν ὅρου, ὁ γὰρ ὅρος οὗτος παρέπεται μέντοι τῇ φθορᾷ τοῦ ἐξ οὗ ὅρου, οὐ μήν γε φθείρειν οἷόν τε ἐστὶν οὐδέπω ὄντι, ἀλλ' οὐδὲ τῇ τοῦ ὑποκειμένου ἀπόλλυται φθορᾷ, τὸ γὰρ ὑποκείμενον τῶν κατ' οὐσίαν διαφορῶν ἄφθαρτόν ἐστιν, ἀλλ' οὐδ' ὑπ' ἀλλήλων. ἰσάζει γάρ πως ταῖς δυνάμεσι, διὸ δὴ σαφῶς εἴρηται τῷ Φιλοσόφῳ ὅτι ἐπὶ πολὺ θατέρου κρατοῦντος οὐ γίνεται μίξις μεταβαλλόντων τῶν ἀντικειμένων, ὥστε εἰ μὴ πάντως μεταβάλλεται σώζεται ἄρα. πρόσθες ὅτι μεταβαλλόντων εἰς θάτερον, ἔτι καὶ τότε σώζεται τὸ εἰς ὃ μετέβαλεν, οὗτοι δὲ οὐδὲν τῶν στοιχείων διατηρεῖσθαι φασὶν ἐν τῇ μίξει, τοιγαροῦν ἀδύνατόν ἐστιν ὑπ' ἀλλήλων ἐφθάρθαι τὰ στοιχεῖα, ἀλλ' οὐδὲ ὑπὸ ἐξωτερικοῦ τινὸς αἰτίου ἐνδέχεται φθαρῆναι, οὐ γὰρ ὑπὸ τοῦ αἰθέρος ὡς ὑπομιμνήσκουσιν ἔνιοι, ὁμώνυμον γάρ ἐστιν αἴτιον καὶ καθ' ἑαυτὸ ἀδιάφορον. πρόσθες δ' ὅτι ἀδύνατόν ἐστιν τὸ αὐτὸ ὑφ' ἑνὸς ἐφθάρθαι ἐπὶ τἀναντία, οἷς γὰρ θάτερον ἀπόλλυ τὸ ἕτερον σώζοιτ' ἄν, ὥς γε φανερόν, ἀλλ' οὐδὲ ὑπὸ τοῦ γεννήσαντος, ἀδύνατον γὰρ τὸ αὐτὸ κατὰ τὴν αὐτὴν ἐνέργειαν ὡς εἴρηται διαφθαρῆναι τἀναντία, ἀλλ' ὅμως εἰσὶν οἵτινες λέγουσιν ἀπόλλυσθαι τὰ εἴδη τῶν στοιχείων ἐπιγιγνομένου τοῦ εἴδους τοῦ μικτοῦ, οὐκ εἰδότες ὅτι τέλος μὲν τῆς τῶν στοιχείων μίξεως τὸ τοιοῦτον εἶδος, τὸ δὲ τέλος οὐδεπώποτε φθαρτικὸν εὕρηται, ὥστε ἐπειδὴ οὐκ ἔστιν εἰπεῖν τί ἂν τὸ τὰ στοιχεῖα φθεῖρον, φανερόν ἐστιν ὅτι σώζεται. Τέ-

παρτον τὰ αὐτὰ ταῦτα εἰπεῖν ἔξεστιν ἐν τῇ τοῦ μικτοῦ ἀπωλείᾳ. ἐπειδὴ γὰρ ὡς εἴρηται τετάρτῳ μετεωρολογικῶν τὰ μικτὰ ἢ σήψει, ἢ καύσει φθείρεται οὐκ ἔστιν ἀποδοῦναι, πόθεν αὖ ἀναγεννᾶται τὰ στοιχεῖα, καὶ πρῶτον μὲν ἐν τῇ καύσει οὐ μόνον πῦρ ἐξέρχεται, ἀλλὰ καὶ γῆ καὶ ὕδωρ, ταῦτα δὲ ὑπὸ πυρὸς γεννηθῆναι ἀδύνατον, ἀλλ᾽ οὐδὲ ὑπ᾽ οὐρανοῦ, οὐδ᾽ ὑπ᾽ ἀέρος, οὐδ᾽ ἄλλου τινὸς τῶν ἔξωθεν αἰτίων ὁμωνύμων ὄντων, ἄρ᾽ οὐ γεγένηνται, ἀλλὰ κεκολασμένα ὄντα τὰς ὑπεροχὰς ἀνέλαβον. ὥστε λέγουσι μὲν οἱ τοιοῦτοι φθείρεσθαι τὰ στοιχεῖα γιγνομένου τοῦ μικτοῦ, ἀπολλυμένου δὲ τούτου γίγνεσθαι πάλιν ἐκεῖνα, ἀλλ᾽ ἐπειδὴ οὔτ᾽ ἐν τῇ γενέσει τοῦ μικτοῦ φθαρτικὸν τῶν στοιχείων ἀποδιδόασιν, οὔτε ἐν τῇ ἀπωλείᾳ γεννητικὸν αὐτῶν, δῆλοί γε εἰσὶν ἀσύγκλωστα κλώθοντες. τοὺς τοιούτους οὖν λόγους ἀποδεικτικοὺς οἶμαι καὶ συνᾴδοντας τῷ Φιλοσόφῳ ἐν πολλοῖς τὰ αὐτὰ ταῦτα διδάσκοντι. Πρώτῳ γὰρ περὶ γενέσεως καὶ φθορᾶς „ μορίῳ πδ΄. φαίνεται γάρ φησι τὰ μιγνύμενα πρότερόν τε ἐκ κεχωρισμένων συνιόντα, καὶ δυνάμενα χωρίζεσθαι πάλιν, οὔτε διαμένουσιν οὖν ἐνεργείᾳ, ὥσπερ καὶ τὸ σῶμα καὶ τὸ λευκόν, οὔτε φθείρονται, οὔτε θάτερον, οὔτε ἄμφω, σώζεται γὰρ ἡ δύναμις αὐτῶν. Ἔτι δὲ τρίτῳ περὶ οὐρανοῦ μορίῳ λα΄. τὰ στοιχεῖα πότερον ἐνυπάρχει δυνάμει, ἢ ἐνεργείᾳ ἀμφισβητήσιμον εἰπών, εἶτα ἐκ τῆς οἰκείας δόξης ἐπιχειρῶν κατ᾽ Ἀναξαγόρου φησίν, ὅτι οὐ σὰρξ καὶ ξύλον ἀρχαί, ἀλλὰ τὰ στοιχεῖα μᾶλλον. τὰ γὰρ στοιχεῖα ἐκκρίνονται ἐκ μικτοῦ παντός, σὰρξ δὲ καὶ ξύλον οὐκ ἐκκρίνονται, ἄρα οὐκ ἐνυπάρχουσιν, οὔτε κατὰ δύναμιν οὔτε κατ᾽ ἐνέργειαν. Ἔτι δὲ δευτέρῳ Φυσικῶν μορίῳ λα΄. τὰ στοιχεῖα ὕλην φησὶ τοῦ μικτοῦ, δεῖ δὲ τὴν ὕλην μένειν ἐν τῷ γιγνομένῳ, ἄρα μένουσι καὶ τὰ στοιχεῖα. ὡσαύτως δὲ καὶ πη΄. τοῦ πρώτου περὶ γενέσεως καὶ φθορᾶς σταλαγμὸν οἴνου μυρίοις χοεῦσιν ὕδατος μιγνύμενον λύεσθαί φησι τὸ εἶδος, καὶ μεταβάλλειν εἰς τὸ πᾶν ὕδωρ, ἀλλ᾽ οὐ μίγνυσθαι, ἐξ οὗ φανερόν ἐστιν ὅτι κατὰ τὸν Φιλόσοφον ἀνάγκη ἐστὶ μὴ φθείρεσθαι τὰ μιγνύμενα, ὅθεν προστίθησιν ὅτι μίξις τελεῖται, ὅταν ταῖς δυνάμεσιν ἰσάζει πως, τότε γάρ φασὶ μεταβάλλει μὲν ἑκάτερον εἰς τὸ κρατοῦν ἐκ τῆς αὐτοῦ φύσεως, οὐ γίγνεται δὲ θάτερον ἀλλὰ μεταξὺ καὶ κοινόν. Τούτοις οὖν ἅπασιν ὁ Φιλόσοφος διδάσκει τὰ στοιχεῖα μὴ φθείρεσθαι, ἀλλὰ κολάζεσθαι μόνον κατὰ τὰ εἴδη καὶ τὰς ὑπεροχὰς ἀποβάλλοντα εἰς τὸ συνεῖναι, ὥστε τὰ στοιχεῖα μὴ λόγον ἐπέχειν ὅρου ἐξ οὗ, ἀλλ᾽ ὕλης. τούτων γὰρ ἀλλοιωθέντων ἀνακύπτει τὸ τοῦ μικτοῦ εἶδος, ἐκ τῶν τεσσάρων συνεστὼς ποιοτήτων, ὥσπερ τὰ μεταξὺ τῶν χρωμάτων ἐκ τῶν ἐναντίων. Τούτων δὲ οὕτως ὄντων ἀληθῆ σαφῶς ἐστι τὰ τοῦ Φιλοσόφου περὶ μίξεως εἰρημένα, τό, τε γὰρ μικτὸν μεταξὺ λέγεται, καὶ κοινόν.

ὡς σῶζον τὰ τῶν στοιχείων εἴδη, καὶ συνεστηκὸς ἐξ αὐτῶν. Ἔτι δὲ πῶς τὸ μικτὸν κατὰ τὸ ἐπικρατοῦν κινεῖσθαι λέγεται, μετέχον γάρ, θατέρου μᾶλλον, ἢ ἑτέρου τῶν στοιχειωδῶν εἰδῶν κατ' ἐκεῖνο φέρεται. Ἔτι δὲ ὅτι ἡ μίξις ὀρθῶς λέγεται τῶν μικτῶν οὐ φθαρέντων, ἀλλ' ἀλλοιωθέντων ἕνωσις, καὶ ὅτι ἕνωσις εἴρηται ἡ μίξις, ὅτι αὐτὰ τὰ τῶν στοιχείων εἴδη κολασθέντα καὶ ἡνωμένα κοινόν τι γίγνεται, καὶ ἓν εἶδος, καὶ μία ποιότης ὡς ἐκ μερῶν συνισταμένη τῶν πρώτων ποιοτήτων, διὸ δὴ κρᾶσις εἴρηται καλῶς. τὸ αὐτὸ δὲ τοῦτο φρονοῦσι πάντες οἱ Ἕλληνες τῶν Ἀριστοτέλους ἑρμηνευτῶν, ὁ γὰρ Ἀλέξανδρος ἐν τῷ περὶ μίξεως τῆς γενέσεως καὶ φθορᾶς διακρίνει τὴν μίξιν, ὅτι ἐν μὲν τῇ γενέσει θάτερον εἰς ἕτερον μεταβάλλει, ἐν δὲ τῇ μίξει εἰς ἓν συνέρχονται πλείω τινὰ τῶν ὑπεροχῶν κολαζομένων, καὶ κατωτέρω χωρίζεσθαί φησι τὰ στοιχεῖα, οὐ γιγνόμενα ἀλλ' ἀναλαβόντα τὰς ὑπεροχάς, καὶ τὴν τελειότητα. ὡσαύτως δὲ Σιμπλίκιος Τρίτῳ περὶ οὐρανοῦ, κόλασιν ἀλλ' οὐ φθορὰν ἐν τοῖς μικτοῖς τῶν στοιχείων ἀποδέχεται, οἷς καὶ οἱ λοιποὶ συνᾴδουσι. δι' ὧν ἁπάντων φανερόν ἐστι τὰ στοιχεῖα μίγνυσθαι κατὰ τὰ εἴδη, ἐναντία γάρ ἐστι κατὰ ταῦτα, καὶ ποιεῖ καὶ πάσχει ὑπ' ἀλλήλων. ἅτινα δύω εἰς μίξιν ὁ Φιλόσοφος ἐν πρώτοις ἀπαιτεῖ.

## Ἀναίρεσις τῶν ἐναντίων δογμάτων.

ΟΤι μὲν οὖν οὐκ ἐνδέχεται τὰ στοιχεῖα ὁλοτελῆ διαμένειν κατὰ τὰς αὐτῶν ποιότητας, εἴτε εἴδη ὦσιν, εἴτε μή, φανερόν. τὰ γὰρ πάσχοντα ἢ ὅλως ἡττᾶται, ἢ κολάζεται, πάσχει δὲ τὰ στοιχεῖα ὑπ' ἀλλήλων, καὶ οὐ φθείρεται ὡς δέδεικται. ἄρα κολάζεται. Ἔτι δὲ ἀδύνατόν ἐστι χρόνον πολὺν σύναμα σώζεσθαι τὰ στοιχεῖα μὴ τῶν ὑπερβολῶν ἀμαυρουμένων, σφοδροτέρας γὰρ ὡς ἔοικε γενομένης τῆς μάχης τάχιον ἡ διάλυσις ἐπιγίγνεται. Ἔτι δὲ ἀλλοιωθέντων γίγνεται τῶν στοιχείων ἡ μίξις, ἡ δὲ ἀλλοίωσις μεταβολή ἐστι κατὰ τὸ ποιόν, ἄρ' οὐκ ἀμετάβλητοι μένουσιν αἱ ποιότητες. πρὸς δὲ τοὺς ἀντικειμένους λόγους ἀπαντῶμεν ὅτι κολαζόμεναι αἱ ποιότητες οὐ φθείρονται διὰ τὸ τοῦ μικτοῦ εἶδος σώζειν τὰς ποιότητας τῶν στοιχείων. Ὃ δὲ λέγεται ὅτι οὐχ ἧττον ἐνδέχεται συνυπάρχειν τὰ ἄκρως ἐναντία τῶν ὑφειμένων, φανερῶς ἄτοπον. ὁμοίως δὲ καὶ οἱ λέγοντες σώζεσθαι τὰ τῶν στοιχείων εἴδη ὁλοτελῆ ἐλαττοῦσθαι δὲ τὰς ποιότητας ψευδῆ συνείρουσιν, εἴδη γὰρ τῶν στοιχείων ὡς εἰρήσεται αἱ πρῶται ποιότητες, τοὺς δὲ τούτων λόγους

ἐγκεί-

ΙΩΑΝΝΙΝΑ 2006

ἐγκρίνομεν, ὀρθῶς γὰρ τὰ ἐναντία δραστικὰ καὶ ποιητικὰ οἴονται, καὶ τῇ ποικίλῃ τῶν ποιοτήτων μίξει τὴν τῶν κράσεων διαφορὰν ἀποδιδόασιν. ἐν τούτῳ καὶ μόνον ἡμαρτηκότες, ὅτι ἀνεπίδεκτα τοῦ μᾶλλον καὶ τοῦ ἧττον τὰ οὐσιώδη νομίζοντες εἴδη, τὰς πρώτας ποιότητας οὐ συστατικὰς τῶν στοιχείων διαφορὰς ἀποφαίνονται, ἐν κεφαλαίῳ δὲ πρὸς ἀμφοτέρους εἰρήσθω, ὅτι τῶν στοιχειωδῶν εἰδῶν ὁλοτελῶς σωζομένων, εἴτε μεταβάλωσιν αἱ ποιότητες, εἴτε μή, ὁτιοῦν μέρος τοῦ μικτοῦ οὐκ εἴη μικτόν, οὕτω γὰρ ὁ Φιλόσοφος κατ' Ἐμπεδοκλέους ἐπιχειρεῖ. ὅτι δηλαδὴ ἀγενήτων ὄντων τῶν στοιχείων, καὶ μὴ μεταβαλλόντων κατὰ τὰ εἴδη συνιόντα κατὰ παράθεσιν ποιεῖ τὸ μικτόν, τὸ γὰρ πῦρ πάλιν ἐστὶ πῦρ, καὶ τὸ ὕδωρ ὕδωρ, καὶ τἆλλα ὡσαύτως, ἄλλως ἀτοπώτερα φαίνονται λέγειν οἵτινες σωζομένων τῶν στοιχειωδῶν εἰδῶν ἐλαττοῦσθαί φασι τὰς ποιότητας, ὅσον ἄτοπόν ἐστι τὸ ἐν τῷ πυρὶ ψυχρότητα τιθέναι, ἢ ἐν ἀέρι ξηρότητα. Ὅσοι δὲ φθείρεσθαι λέγουσι τὰ στοιχεῖα σαφῶς ἀντιφάσκουσι τῷ Φιλοσόφῳ. πρὸς δὲ τοὺς τούτων λόγους εἴπωμεν, ὅτι οὐκ ἀληθές ἐστιν ὃ λέγουσι μὴ ἀνίεσθαι τὰ τῶν στοιχείων εἴδη. Ἔτι δὲ εἴρηται, ὡς ἕν ἐστι τὸ τοῦ μικτοῦ εἶδος, καὶ ὡς ἐκ μερῶν συνίσταται τῶν στοιχειωδῶν εἰδῶν. ὃ δὲ λέγεται ὅτι ἀδύνατόν ἐστι τὸν ἐξ οὗ ὅρον συνυπάρχειν τῷ πρὸς ὅν ἀληθὲς μὲν εἴπερ ἐστὶν ἐξ οὗ ὅρος, καὶ γὰρ τὰ στοιχεῖα ὅρου μὲν ἔχουσι λόγον τοιούτου ἀκολάστως ἔχοντα, κεκολασμένα δὲ οὐδὲν κωλύει συνίστασθαί τε καὶ συνεῖναι.

## Ἀπορίαι.

Ἀπορεῖται δὲ τοῖς νεωτέροις εἰκότως τὸ λεγόμενον ὑπὸ τοῦ Φιλοσόφου δευτέρῳ περὶ μερῶν ζώων κεφ. α. Τριῶν δὲ οὐσῶν τῶν συν-
„ θέσεων πρώτην μὲν ἄν τις θείη τὴν ἐκ τῶν καλουμένων ὑπό τινων στοι-
„ χείων, οἷον Γῆς, Ἀέρος, Ὕδατος, Πυρός. Ἔτι δὲ βέλτιον ἴσως ἐκ
„ τῶν δυνάμεων λέγειν, καὶ τούτων οὐκ ἐξ ἁπασῶν, ἀλλ' ὥσπερ ἐν ἑτέ-
„ ροις εἴρηται καὶ πρότερον. ὑγρὸν γὰρ καὶ ξηρὸν, καὶ ψυχρὸν, καὶ θερμὸν
„ ἡ ὕλη τῶν συνθέτων σωμάτων ἐστίν. ὅθεν τινές φασιν ὅτι ἐπειδήπερ
„ ὁ Φιλόσοφος ἔν τε τῷ περὶ οὐρανοῦ καὶ ἐν ἄλλοις ἠπόρηκε, πότερον δυνάμει τὰ στοιχεῖα ἢ ἐνεργείᾳ ἐν τῷ μικτῷ σώζεται; σαφέστερον τὴν οἰκείαν δόξαν ἐνταῦθα ἐκθέσθαι λέγων, ὅτι ἐκ τῶν δυνάμεων μᾶλλον σύγκειται τὸ μικτόν. ἀλλ' εἴ τις ἐπιστήσεται εἴδη μὲν εἶναι τῶν στοιχείων τὸ θερμὸν ψυχρὸν, ὑγρὸν, καὶ ξηρὸν, ταῦτα δὲ καὶ δυνάμεις λέγεσθαι, καὶ τοὺς λόγους εἴσεται δι' οὓς ὁ Φιλόσοφος μᾶλλον ἐκ τῶν δυνάμεων, ἢ ἐκ τῶν στοιχείων τὴν μίξιν γίγνεσθαί φησιν, οὐ γὰρ ἀπαναίνεται μίγνυ-



Ε.Υ. ΔΙΠΣ Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006